παραγγέλλουσιν αὐτοῖς. οὐδ' εἰ παρήγγελλον δέ, ἀγαθοὶ ἦσαν, ἐπειδὴ ἐπιστημονικῶς οὐκ ἴσασι τὰ πράγματα· ὅτι δὲ οὐ παραγγέλλουσιν ἀγαθῷ χρῆσθαι, δῆλον ἐκ τοῦ καὶ ἀσύστατα λέγειν τὰ ζητήματα τῶν ἴσων γερῶν ἀξιούμενοι, ὥστε μάτην μεγαλαυχεῖ ὑφαρπάζων τὰ τῶν κατὰ μέρος τεχνιτῶν· φησὶ γοῦν, ὅτι ἡμεῖς περὶ νεωρίων πείθομεν καὶ περὶ ἄλλων πραγμάτων καὶ κάμνοντας δέξασθαι φάρμακα· ἰστέον γάρ, ὅτι οὐκ ἴδιον τοῦτο ῥητόρων, ὁ μὲν γὰρ πολιτικὸς κελεύει εἶναι ἰατρόν, ὁ δὲ ῥήτωρ πεῖσαι ὀφείλει μόνον, ὁ δὲ κατὰ μέρος τεχνίτης λοιπὸν ὡς βούλεται κατασκευάζει.

p. 455 e. λέγεται ταῦτα, ὦ Γοργία, περὶ Θεμιστοκλέους.

παλαιότερος ὁ Θεμιστοκλῆς τοῦ Σωκράτους, ὅθεν καὶ τὸ 3
λέγεται εἶπεν· ὁ δὲ Περικλῆς τῶν αὐτοῦ χρόνων ἦν, ὡς ἐν τῷ Ἀλκιβιάδῃ μέμνηται· διάμεσον δὲ τεῖχος λέγει, ὃ καὶ ἄχρι νῦν ἔστιν ἐν Ἑλλάδι· ἐν τῇ Μουνυχίᾳ γὰρ ἐποίησεν καὶ τὸ μέσον τεῖχος, τὸ μὲν βάλλον ἐπὶ τὸν Πειραιᾶ, τὸ δὲ ἐπὶ Φάληρα, ἵνα εἰ τὸ ἓν καταβληθῇ, τὸ ἄλλο ὑπηρετοίη ἄχρι πολλοῦ.

p. 456 a. ταῦτα καὶ θαυμάζων, ὦ Γοργία, πάλιν ἐρωτῶ.

δαιμονίαν αὐτὴν καλεῖ οὐκ ἐπαινῶν ἀλλὰ σκώπτων· λαμ- 4
βάνεται γὰρ καὶ ἐπὶ ὕβρεως. ἰστέον γὰρ ὅτι τὰ ἀίδια ἀεὶ ἀγαθὰ καὶ οἱ ἄγγελοι, ὅθεν οὐ λέγομεν ἄγγελον κακόν. ἡ δὲ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ διαίρεσις ἀπὸ τῶν δαιμόνων ἤρξατο γίνεσθαι· κακοὶ γὰρ οἱ δαίμονες· δαιμονίαν οὖν ἀντὶ τοῦ κακήν. εἰ δέ τις εἴποι, ὅτι καὶ εἰ σκώπτει, διὰ τί θαυμάζει αὐτήν, εἰπέ, ὅτι καὶ ἐπὶ κακοῦ τὸ θαυμάζειν παραλαμβάνεται.

p. 456 a. εἰ πάντα γε εἰδείης.

ᾠήθη ἐκεῖνος, ὅτι κατὰ ἀλήθειαν ἐπήνεσεν αὐτὴν καί 5
φησιν, ὅτι εἰ πάντα εἴδῃς τῆς ῥητορικῆς, μάλιστα ἂν αὐτὴν ἐπήνεσας.

---

15 mg. τόπος τοῦ Πειραιῶς ἀπὸ Μουνυχίας Ἀθηνᾶς, ἥτις οὕτως ὠνομάσθη ἀπὸ Μουνύχου τοῦ Πανταλέους 21 mg. ση. ὅτι καὶ ἐπὶ ὕβρεως τὸ τοῦ δαίμονος ὄνομα λαμβάνεται

---

1 παρηγγελον] ς παρέγγελον M

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/55 UNIVERSITÄT LEIPZIG